Τοιγαροῦν, ἅτε τῶν μὲν ἀγαθῶν ὀλίγων ὄντων, πονηρῶν δὲ πλείστων ἐν ταῖς πόλεσι τὸ πᾶν ἐπεχόντων, ῥᾷον ἐς τοὺς τοιούτους ἐμπίπτω περιιὼν καὶ σαγηνεύομαι πρὸς αὐτῶν.

ΕΡΜ. Εἶτα πῶς, ἐπειδὰν καταλίπῃς αὐτοὺς, ῥᾳδίως φεύγεις, οὐκ εἰδὼς τὴν ὁδόν;

ΠΛΟΥΤ. Ὀξυδερκὴς τότε πως καὶ ἀρτίπους γίγνομαι πρὸς μόνον τὸν καιρὸν τῆς φυγῆς.

ΕΡΜ. Ἔτι δή μοι καὶ τοῦτο ἀπόκριναι, πῶς τυφλὸς ὢν, εἰρήσεται γάρ[69], καὶ προσέτι ὠχρὸς, καὶ βαρὺς ἐκ τοῖν σκελοῖν, τοσούτους ἐραστὰς ἔχεις, ὥστε πάντας ἀποβλέπειν εἰς σέ; καὶ τυχόντας μὲν, εὐδαιμονεῖν οἴεσθαι, εἰ δὲ ἀποτύχοιεν, οὐκ ἀνέχεσθαι ζῶντας; οἶδα γοῦν τινας οὐκ ὀλίγους αὐτῶν οὕτω σου δυσέρωτας ὄντας, ὥστε καὶ ἐς βαθυκήτεα πόντον[70] φέροντες ἔῤῥιψαν αὐτοὺς, καὶ πετρῶν κατ' ἠλιβάτων, ὑπερορᾶσθαι νομίζοντες ὑπὸ σοῦ, ὅτιπερ οὐδὲ τὴν ἀρχὴν ἑώρας αὐτούς· πλὴν ἀλλὰ καὶ σὺ ἂν εὖ οἶδα ὅτι ὁμολογήσειας, εἴ τι ξυνίῃς[71] σαυτοῦ, κορυβαντιᾷν αὐτοὺς, ἐρωμένῳ τοιούτῳ[72] ἐπιμεμηνότας.

ΠΛΟΥΤ. Οἴει γὰρ τοιοῦτον οἷός εἰμι ὁρᾶσθαι αὐτοῖς, χωλὸν ἢ τυφλὸν, ἢ ὅσα ἄλλα μοι πρόςεστιν;

ΕΡΜ. Ἀλλὰ πῶς, ὦ Πλοῦτε, εἰ μὴ τυφλοὶ καὶ αὐτοὶ πάντες εἰσίν;

ΠΛΟΥΤ. Οὐ τυφλοὶ, ὦ ἄριστε, ἀλλ' ἡ ἄγνοια, καὶ ἡ ἀπάτη, αἵπερ νῦν κατέχουσι τὰ πάντα, ἐπισκιάζουσιν αὐτούς· ἔτι δὲ καὶ αὐτὸς, ὡς μὴ παντάπασιν ἄμορφος εἴην, προσωπεῖον περιθέμενος ἐρασμιώτατον διάχρυσον, καὶ λιθοκόλλητον, καὶ ποικίλα ἐνδὺς, ἐντυγχάνω αὐτοῖς· οἱ δὲ, αὐτοπρόσωπον[73] οἰόμενοι ὁρᾷν τὸ κάλλος, ἐρῶσι καὶ ἀπόλλυνται μὴ ἐντυγχάνοντες· ὡς εἴ γε τις αὐτοῖς, ὅλον ἀπογυμνώσας, ἐπέδειξέ με, δῆλον ὡς κατεγίγνωσκον ἂν αὐτῶν, ἀμβλυώττοντες τὰ τηλικαῦτα[74], καὶ ἐρῶντες ἀνεράστων καὶ ἀμόρφων πραγμάτων.

ΕΡΜ. Τί οὖν ὅτι καὶ ἐν αὐτῷ ἤδη τῷ πλουτεῖν γενόμενοι, καὶ τὸ προσωπεῖον αὐτὸ περιθέμενοι, ἔτι ἐξαπατῶνται; καὶ ἤν τις ἀφαιρῆται αὐτοὺς, θᾶττον ἂν τὴν κεφαλὴν ἢ τὸ προσωπεῖον πρόοιντο[75]; οὐ γὰρ δὴ καὶ τότε ἀγνοεῖν εἰκὸς αὐτοὺς, ὡς ἐπίχριστος ἡ εὐμορφία ἐστὶν, ἔνδοθεν τὰ πάντα ὁρῶντας.

ΠΛΟΥΤ. Οὐκ ὀλίγα, ὦ Ἑρμῆ, καὶ πρὸς τοῦτό μοι συναγωνίζεται.

ΕΡΜ. Τὰ ποῖα;

ΠΛΟΥΤ. Ἐπειδάν τις ἐντυχὼν τὸ πρῶτον, ἀναπετάσας τὴν θύραν, εἰσδέχηταί με, συμπαρεισέρχεται μετ' ἐμοῦ λαθὼν ὁ τῦφος, καὶ ἡ ἄνοια, καὶ ἡ μεγαλαυχία, καὶ ἡ μαλακία, καὶ ὕβρις, καὶ ἀπάτη, καὶ ἄλλα ἄττα μυρία· ὑπὸ δὴ τούτων ἁπάντων καταληφθεὶς τὴν ψυχὴν, θαυμάζει τε τὰ οὐ θαυμαστὰ, καὶ ὀρέγεται τῶν φευκτῶν· κἀμὲ τῶν πάντων ἐκείνων πατέρα

69) (Κοιν.) ἵνα εἴπωμεν τὴν ἀλήθειαν· μή σε κακοφανῆ. 70) Ἐκ τοῦ Θεόγνιδος.
71) Συνίημι. Ἐννοῇς τὴν κατάστασίν σου. 72) Οἷος σὺ, δηλ. τυφλὸς, χωλὸς καὶ ὠχρός.
73) Αὐτόχρημα. 74) (Περὶ) τὰ τηλικ. ἢ ἀντικείμενον τοῦ Ἀμβλυώττω, ἐὰν ἐκληφθῇ μεταβατικόν· αὐσιαστικὸν δὲ ἐννοεῖται τὰ Αἴσχη. 75) Προίεμαι.